δὴ τούτου οὔτε ἵππων οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκί-
μων οὐδὲν ὄφελος. ¶ Ἀληθῆ λέγεις, ἔφη· ἀλλὰ πῶς
ἄν τις μάλιστα, ὦ Σώκρατες, ἐπὶ τοῦτο αὐτοὺς προ-
9 τρέψαιτο; ¶ Ἐκεῖνο μὲν δήπου οἶσθα, ὅτι ἐν παν-
τὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι
πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι. καὶ γὰρ
ἐν νόσῳ, ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ
μάλιστα πείθονται· καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν
κυβερνητικώτατον· καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώ-
τατον. ¶ Καὶ μάλα, ἔφη. ¶ Οὐκοῦν εἰκὸς, ἔφη,
καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται ἃ δεῖ
ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι.
10 ¶ Ἐὰν οὖν, ἔφη, ἐγὼ, ὦ Σώκρατες, βέλτιστος ὢν
αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι
αὐτοὺς ἐμοί; ¶ Ἐάν γε πρὸς τοῦτο, ἔφη, διδάξῃς
αὐτοὺς, ὡς τὸ πείθεσθαί σοι, κάλλιόν τε καὶ σωτη-
ριώτερον αὐτοῖς ἔσται. ¶ Πῶς οὖν, ἔφη, τοῦτο διδάξω;
¶ Πολὺ νὴ Δί', ἔφη, ῥᾷον, ἢ εἴ σε δέοι διδάσκειν, ὡς
τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά
11 ἐστι. ¶ Λέγεις, ἔφη, σὺ, τὸν ἵππαρχον πρὸς τοῖς
ἄλλοις ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ λέγειν δύνασθαι;
¶ Σὺ δ' ᾤου, ἔφη, χρῆναι σιωπῇ ἱππαρχεῖν; ἢ οὐκ ἐν-
τεθύ-

οὔτε ἵππων] Casu haec exciderant in Casteliana: hinc desunt in edd. prioribus Ernesti.

πῶς ἄν τις — προτρέψαιτο] De militibus reddendis dicto audientibus vid. Cyrop. I, 6, 19 seqq. et de Mag. Eq. VI.

§. 9 βελτίστους] Iunt. et marg. Steph. βελτίους, sed lectio Ald., Steph., Stob. et Bessar. praestat,

καὶ γὰρ ἐν νόσῳ] Eadem, verbis tamen diuersis vsus, tradiderat in K. II. I, 6, 31, leguntur que talia in his Socraticis longe plurima, eorum similia, quae prostant in K. II. nec tamen iisdem verbis narrata. Et crederemus, Xenophontem sua ipsius, quae dederat in Hist. Graeca, centena continua in Agesilai encomio transscripsisse? aut Apologiam scripsisse Socratis, in qua nihil alicuius inueniatur momenti, quod non legatur in his commentariis? *Valken.*

§. 10. πρὸς τοῦτο] In Steph. secunda et MS. 1 πρὸς τούτῳ, *praeter hoc*, sed vulgatum idem valet.

σε δέοι] Pro σοι δέοι, h. e. *tibi sit opus, tu egeas*, quod ab hoc loco alienum est, vt Hindeburgius vnus vidit, secutus sum Stobaeum.

ἀμείνω] Castal. καὶ ἀμείνω, haud male.

§. 11. λέγειν δύνασθαι] Stob. δύνασθαι λέγειν.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/184 gefördert von der Deutschen Forschungsgemeinschaft DFG